Ἄδηλον.

Οἶνος, καὶ τὰ λοετρὰ, καὶ ἡ περὶ κύπριν ἐρωή,
Ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς ἀΐδην.

---

## ΕΙΣ ΘΕΟΥΣ, κεφ. λη.

### ΛΟΥΚΙΑΝΟΥ.

Ἀνθρώπους μὲν ἴσως λήσεις, ἄτοπόν τι ποιήσας·
Οὐ λήσεις δὲ θεοὺς, οὐδὲ λογιζόμενος.

Ἀδέσποτον.

Ζεὺς, κύκνος, ταῦρος, σάτυρος, χρυσὸς, δι᾽ ἔρωτα
Λήδης, εὐρώπης, ἀντιόπης, δανάης.

### ΑΝΤΙΠΑΤΡΟΥ.

Εὔκολος ἑρμείας, ὦ ποιμένες, ἔν τε γάλακτι
Χαίρων καὶ δρυΐνῳ σπενδόμενος μέλιτι.
Ἀλλ᾽ οὐχ ἡρακλέης· ἕνα δὲ κτίλον, ἢ παχὺν ἄρνα
Αἰτεῖ, καὶ πάντως ἓν θύος ἐκλέγεται.
Ἀλλὰ λύκους εἴργει. τί δὲ τὸ πλέον, εἰ τὸ φυλαχθὲν
Ὄλλυται, εἴτε λύκοις, εἴθ᾽ ὑπὸ τοῦ φύλακος;

### ΛΕΩΝΙΔΟΥ.

Ὦ τάνδε στείχοντες ἀταρπιτὸν, οἵ τε ποτ᾽ ἀγροὺς
Δαμόθεν, οἵ τ᾽ ἀπ᾽ ἀγρῶν νεῖσθε ποτ᾽ ἀκρόπολιν,
Ἄμμες ὅρων φύλακες, δισσοὶ θεοὶ, ὧν ὁ μὲν ἑρμᾶς,
Οἷον ὁρῇς μ᾽· οὗτος δ᾽ ἅτερος, ἡρακλέης.
Ἀμφω μὲν θνατοῖς εὐάκοοι· ἀλλὰ ποθ᾽ αὐτούς.
Αὐτῷ μοι παραθεὶς ἀχράδας, ἐγκέκαφεν.